# TEZAUR LITURGIC

**28 IULIE**

**+CHIRIL KOGHERAKIS, MITROPOLITUL RHODOSULUI**

# SLUJBA SF.APOSTOL PROHOR AL NICOMIDIEI

**ATENA,2010**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 28 ΙΟΥΛΙΟΥ
# ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΡΟΧΟΡΟΥ ΕΝΟΣ ΤΩΝ ΕΠΤΑ ΔΙΑΚΟΝΩΝ

**Ποίημα Μητροπολίτου Ῥόδου Κυρίλλου Κογεράκη**

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ιστώμεν στίχ. δ’ και ψάλλομεν τα κάτωθι Στιχηρά Προσόμοια.Ήχος πλ. β’. Αι Αγγελικαί.

Δεύτε αδελφοί, εκτελέσωμεν συμφώνως, μνήμην την φαιδράν, του ενδόξου Αποστόλου, εν πίστει εκβοώντες˙ Παμμακάριστε Πρόχορε, δέχου εκ στομάτων ακαθάρτων, την υμνωδίαν και χορήγει, ημίν άπασι, τοις υμνηταίς σου μυστικώς, την χάριν σου άνωθεν.

Χάριτος αυγαίς, την ψυχήν πεπυρσευμένος, έγνως εν Χριστώ, τον Σωτήρα των ανθρώπων, και τούτου εν ταις τρίβοις, κατευθύνας τους πόδας σου, του Ευαγγελίου της ειρήνης, μύστης θεόληπτος εδείχθης, σοφέ Πρόχορε, προς σωτηρίαν γηγενών, ως πλήρης χρηστότητος.

Θείος πληρωτής, της φωνής του Ζωοδότου, του υπερφυώς, δι’ ημάς συγκαταβάντος, εδείχθης των αγίων, ταις ανάγκαις ώ Πρόχορε, ζήλω ιερώ διακονήσας˙ διο ζωής της αιωνίου, κατηξίωσαι, και ελαμπρύνθης μυστικώς, αυγαίς της θεώσεως.

Έργων ευσεβών, προτερήμασιν εκλάμψας, και ταις αρεταίς, διαπρέψας υπέρ λόγον, εδέξω Παρακλήτου, την αήττητον δύναμιν, εν ή κατενίκησας την πλάνην, και προσωκείωσας Κυρίω πολλούς Πρόχορε, το Ευαγγέλιον αυτοίς, κηρύξας αοίδιμε.

Δόξα. Ήχος α’.

Αξιωθείς χάριτος, αποστολικώς εν τω κόσμω διέπρεψας, Πρόχορε θεορρήμον Απόστολε˙ και κοσμήσας τον βίον σου, της κατ’ άμφω αγάπης επιδείξεσι, του Κυρίου επλήρωσας, επί της γης το θέλημα˙ ώ πρέσβευε διηνεκώς, ως παρρησίαν πολλήν πλουτήσας, υπέρ ημών των τελούντων την μνήμην σου.

Και νυν. Θεοτοκίον.

Αμαρτωλών τας δεήσεις προσδεχόμενη, και θλιβομένων στεναγμόν μη παρορώσα, πρέσβευε τω εξ αγνών λαγόνων σου, σωθήναι ημάς, Παναγία Παρθένε.

Εις τον Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β’. Οίκος του Εφραθά.

Πλήρης ως αληθώς Πνεύματος και σοφίας, ώ Πρόχορε υπάρχων, Διάκονος εδείχθης, σοφός λαού της χάριτος.

Στίχ. Εις πάσαν την γην εξήλθεν ο φθόγγος αυτού…

Νουν σου τον καθαρόν, Κυρίω ανατείνας, ελλάμψεων εντεύθεν, πεπλήρωσαι και ώφθης, ανθρώποις φως ώ Πρόχορε.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού…

Πρόχορε θαυμαστέ, μετά του Θεολόγου, ενδόξου Ιωάννου, εξαίτει ημίν πάσι, Θεού το μέγα έλεος.

Δόξα. Τριαδικόν.

Άναρχε Βασιλεύ, Πάτερ Υιέ και Πνεύμα, Τριάς Υπεραγία, πρεσβείαις του Προχόρου, δος πάσι τα ελέη σου.

Και νυν. Θεοτοκίον.

Τόκου σου Μαριάμ, μυστήριον το μέγα, ο Πρόχορος κηρύξας, ειδώλων της απάτης, ανθρώπους ηλευθέρωσε.

Νυν απολύεις, το Τρισάγιον, το Απολυτίκιον εκ του Μεγάλου Εσπερινού και Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετά τον Προοιμιακόν, στιχολογούμεν το Μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα, ιστώμεν στίχ. στ’ και ψάλλομεν τα κάτωθι Στιχηρά Προσόμοια.

Ήχος α’. Των ουρανίων ταγμάτων.

Εν εκλογή θεοκρίτω, ως πλήρης Πνεύματος, διακονείν ταις χρείαις, προκριθείς των αγίων, της κλήσεως εν ζήλω θεουργικώ, καταλλήλως διέπρεψας, και εδοξάσθης αξίως παρά Θεού, εν σκηναίς Αγίων Πρόχορε.

Του Παρακλήτου την χάριν, υποδεξάμενος, ως καθαρός υπάρχων, δια βίου τελείου, ως ήλιος εξήλθες εκ της Σιών, και διέλυσας Πρόχορε, ειδωλικής ματαιότητος σκοτασμόν, επιλάμψει του κηρύγματος.

Μυσταγωγίαις εκλάμπων, Αγίου Πνεύματος, Ευαγγελίου θείος, ώφθης Πρόχορε κήρυξ, και ψεύδους παρατάξεις ταις διδαχαίς,

διαλύσας των λόγων σου, της αληθείας ετράνωσας την ισχύν, εν τοις έθνεσιν Απόστολε.

Έτερα. Ήχος δ'. Ως γενναίον εν Μάρτυσι.

Ως Χριστού σε Διάκονον, και πυρίπνουν Απόστολον, συνελθόντες σήμερον μακαρίζομεν˙ συ γαρ αγάπης ως έμπλεως, καλώς διηκόνησας, ταις ανάγκαις των πιστών, και τω κόσμω εκήρυξας, θείε Πρόχορε, την σωτήριον κένωσιν του Λόγου, απιστίας την σκοτίαν, διασκεδάζων τοις λόγοις σου.

Αναβάσεις κτησάμενος, αρετών εν καρδία σου, του Θεού επέγνωκας το σωτήριον, και Παρακλήτου την άμαχον, δεξάμενος δύναμιν, θεοπνεύστοις διδαχαίς, της του Λόγου κενώσεως, το μυστήριον, διερμήνευσας Πρόχορε παμμάκαρ, προς ευσέβειαν μετάγων, της ασεβείας τα έκγονα.

Εκλογή Θείου Πνεύματος, ανεδείχθης Διάκονος, Εκκλησίας Πρόχορε ιερώτατος, του Θεολόγου εγένου δε, συνέκδημος ένθεος, και εν πάσι κοινωνός, μεθ' ου εύρες αΐδιον, την ανάπαυσιν, εν Χριστού παραστάδι ικετεύων, υπέρ πάντων των τελούντων, την αεισέβαστον μνήμην σου.

Δόξα. Ήχος πλ. δ'.

Ως πλήρης Πνεύματος Αγίου και δυνάμεως, εκλογή θεοκρίτω προκριθείς, διακονείν Εκκλησίας τω πληρώματι, εν αγάπη ανυποκρίτω, την διακονίαν σου καλώς, τοις εν Σιών αγίοις, επληροφόρησας Πρόχορε˙ εντεύθεν βροντής τω υιώ συνεκδημήσας, και υπέρ του κηρύγματος αυτώ, εν τοις έθνεσι

συγκακοπαθήσας, καρποφορίαν πλουσίαν προσήγαγες Χριστώ, και αποστολικής ευκληρίας, εν μετοχή εγένου αοίδιμε. Όθεν τους τελούντας την μνήμη σου, από πάσης ανάγκης διάσωσον, δυνάμει της πρεσβείας σου.

Και νυν. Θεοτοκίον.

Ο Βασιλεύς των ουρανών, δια φιλανθρωπίαν, επί της γης ώφθη, και τοις ανθρώποις συνανεστράφη˙ εκ Παρθένου γαρ αγνής σάρκα προσλαβόμενος, και εκ ταύτης προελθών μετά της προσλήψεως, εις εστίν Υιός, διπλούς την φύσιν, άλλ' ου την υπόστασιν˙ διο τέλειον αυτόν Θεόν, και τέλειον άνθρωπον, αληθώς κηρύττοντες, ομολογούμεν Χριστόν τον Θεόν ημών˙ ον ικέτευε Μήτηρ ανύμφευτε, ελεηθήναι τας ψυχάς ημών.

Είσοδος, το Φως ιλαρόν, το Προκείμενον της ημέρας και τα Αναγνώσματα, ά ζήτει εν τη σελίδι 27 του παρόντος, εν τη Μνήμη της Μεταστάσεως του Αγίου ενδόξου Αποστόλου Ιωάννου του Θεολόγου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ιδιόμελα.

Ήχος α'.

Τον αυτόπτην του Λόγου και Απόστολον, και του Ηγαπημένου Μαθητού, κοινωνόν και συνέκδημον πιστότατον, τον υπέρ του κηρύγματος στερρώς κακοπαθήσαντα, Πρόχορον τον θεόπνουν ευφημήσωμεν, σήμερον επί τη μνήμη αυτού, τω Χριστώ εκβοώντες˙ Ο εκπέμψας τους Αποστόλους σου, κήρυκας εν πάση

τη γη, και δι’ αυτών προς θεογνωσίαν, τα έθνη άπαντα καλέσας, φιλάνθρωπε Κύριε, συν Πατρί τε και Πνεύματι δόξα σοι.

Ο αυτός.

Θησαυρίσας σοφίας το χάρισμα, και Πνεύματος Αγίου, τας επιλάμψεις εισδεξάμενος, εκρίθης δικαία εκλογή, τοις εν Σιών αγίοις διακονείν, παμμακάριστε Πρόχορε˙ εντεύθεν τον Σωτήρα μιμούμενος, τον εν κόσμω ελθόντα, διακονήσαι ανθρώποις ως εύσπλαγχνος, διακονίας σου το έργον αξίως επλήρωσας˙ διο και μείζων εκλήθης, εν τη βασιλεία θεόφρον του Θεού, ως αυτός Χριστός η αλήθεια, αψευδώς τοις Μαθηταίς επηγγείλατο. Αυτόν ουν εκδυσώπει αεί, ίνα ρύσηται ημάς των παγίδων του εχθρού, ως αγαθός και φιλάνθρωπος.

Ήχος β’.

Του εν τω Δείπνω τω στήθει, αναπεσόντος του Διδασκάλου, Ιωάννου του Ηγαπημένου Μαθητού, μαθητής πιστός και συνέκδημος, εχρημάτισας Πρόχορε˙ διο και παρ’ αυτού, την αγάπην μυσταγωγηθείς, ήτις εστί του Θεού η εντολή, εν αγάπη τελεία Χριστώ ηκολούθησας, και αυτόν δι’ αγάπην κόσμω εκήρυξας, πολλούς της ματαίας αυτών αναστροφής, λόγω αγάπης διορθούμενος. Όθεν αποστολική σε ευκλεία, ο εν Τριάδι Θεός εμεγάλυνεν˙ ώ πρέσβευε εκτενώς, ειρηνεύσαι τον κόσμον, και σώσαι τας ψυχάς ημών.

Ο αυτός.

Ιωάννη τω Παρθένω Μαθητή, και τω Χριστώ Ηγαπημένω, υπέρ της μαρτυρίας του Διδασκάλου συνεκδημών, και υπέρ αυτής αυτώ συγκακουχούμενος, τυράννου μισοθέου προστάγματι, συν αυτώ εξόριστος, εις την Πάτμον κατέπλευσας Πρόχορε˙ ενταύθα ήν έδωκεν, ο Θεός αυτώ Αποκάλυψιν, χειρί σου τιμία εις βιβλίον συνέγραψας, ίνα γνωρίση ο κόσμος, α δει γενέσθαι εν τάχει. Όθεν οι εν τη αναγνώσει αυτής μακαριζόμενοι, πιστώς σε μακαρίζομεν, αιτούμενοι ταις πρεσβείαις σου, ρυσθήναι ημάς της κολάσεως.

Ήχος δ’.

Σήμερον η Πάτμος ευφραίνεται, την μνήμην αισίως εορτάζουσα, Προχόρου ευκλεούς Διακόνου, και Αποστόλου Χριστού του Θεού. Ούτος γαρ ο αοίδιμος, του ελευθερώσαντος αυτήν των δαιμόνων, Ιωάννου του Θεολόγου, Μαθητού, συγκοινωνός εν τη θλίψει και βασιλεία, και υπομονή εν Χριστώ Ιησού γενόμενος, και μετ’ αυτού υπέρ του Ευαγγελίου συγκακοπαθήσας, τους καρπούς των αγώνων εις αγιασμόν, εν υψίστους αναφαίρετον εκτήσατο˙ διο και πρεσβεύειν συν αυτώ, του διαφυλάττεσθαι αυτήν, ακλόνητον εν τη πέτρα της πίστεως.

Δόξα. Ήχος πλ. β’.

Τον εκλογή αγία προκριθέντα, διακονείν αγίων τω πληρώματι, Πρόχορον τον αοίδιμον, μακαρίσωμεν κράζοντες˙ Χαίροις ο το προ πάντων αιώνων μυστήριον, τω λόγω του κηρύγματος σαφηνίσας, και έθνη και λαούς προσκαλέσας, προς Χριστού την επίγνωσιν˙

χαίροις ο ευαγγελικαίς θεολογίαις, το σωτήριον καταγγείλας του Θεού, και δι' αυτού ανθρώπους θεραπεύσας, χαλεπής ασθενείας της αμαρτίας˙ χαίροις ο του Θεολόγου μαθητής και ακόλουθος, και Νικομηδείας ο θείος πρωτεπίσκοπος. Αλλά πρέσβευε θεορρήμον Απόστολε, υπέρ ημών των τιμώντων σε, ως αν τύχωμεν δια σου, των αποκειμένων αγαθών της μεθέξεως.

Και νυν. Θεοτοκίον.

Θεοτόκε συ ει η άμπελος η αληθινή, η βλαστήσασα τον καρπόν της ζωής, σε ικετεύομεν, πρέσβευε Δέσποινα, μετά του Αποστόλου, και πάντων των Αγίων, ελεηθήναι τας ψυχάς ημών.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρά Προσόμοια.

Ήχος β'. Ότε εκ του ξύλου.

Ότε θεοκρίτω εκλογή, Πρόχορε αξίως εκρίθης, διακονείν τοις πιστοίς, τότε τον διδάσκαλον, Χριστόν μιμούμενος, καταλλήλως επήρκεσας, χηρών και απόρων, εν αγάπη μείζονι, ταις χρείαις ένδοξε. Όθεν ως Διάκονος θείος, εν της βασιλείας τη δόξη, μέγιστος εκλήθης ως προείρηται.

Στίχ. Εις πάσαν την γην εξήλθεν ο φθόγγος αυτού...

Ότε συνεξήλθες εκ Σιών, τω αναπεσόντι τω στήθει, του Ιησού Μαθητή, τότε συνεκήρυξας, αυτώ ώ Πρόχορε, την σωτήριον κένωσιν, του Λόγου τω κόσμω, συνεπαγγελλόμενος, αυτώ την λύτρωσιν. Όθεν Αποστόλων της δόξης, μέτοχος εν πόλω εδείχθης, μνημονεύων πάντων των τιμώντων σε.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού...

Ότε του Θεού της εντολής, ήτις η αγάπη υπάρχει, ώφθης εν γη πληρωτής, τότε προς αείζωον, μετέβης εύκλειαν, και παρέστης τω Κτίσαντι, αστράπτων τη αίγλη, των υπέρ της πίστεως, θείων αγώνων σου. Όθεν τους τιμώντάς σε πόθω, Πρόχορε σεπταίς σου πρεσβείαις, σκέπε εν παντοίαις περιστάσεσι.

Δόξα. Ήχος δ'.

Ευφραίνεται σήμερον η Εκκλησία, λαμπροφανή εορτήν εορτάζουσα, Προχόρου του θεοκήρυκος, και συνεκδήμου μαθητού, του Ηγαπημένου Θεολόγου. Ούτος γαρ ο πανεύφημος, ο Διάκονος επτά κατειλεγμένος, έργον ποιήσας σοφού ευαγγελιστού, και την διακονίαν αυτού δι' έργων πληροφορήσας, του Κυρίου το λόγιον επλήρωσε˙ διο και της εν Νικομηδείας αγίας Εκκλησίας, εδείχθης αξίως προϊστάμενος, τη δυνάμει του εν Τριάδι Θεού˙ ώ και πρεσβεύει εκτενώς, υπέρ ειρήνης του κόσμου, και σωτηρίας των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Εκ παντοίων κινδύνων, τους δούλους σου φύλαττε, Ευλογημένη Θεοτόκε, ίνα σε δοξάζωμεν, την ελπίδα των ψυχών ημών.

Νυν απολύεις, το Τρισάγιον και το Απολυτίκιον.

Ήχος α'. Της ερήμου πολίτης.

Ως δυνάμεως πλήρης, ουρανίου και χάριτος, εκλογή αγία εκρίθης, Εκκλησίας Διάκονος, και μείζονι αγάπη εν Σιών, ταις χρείαις επαρκέσας των πιστών, εμαρτύρησας τοις έθνεσιν ιερώς, τον λόγον

της σωτηρίας. Δόξα τω σε καλέσαντι Χριστώ, δόξα τω σε ενισχύσαντι, δόξα τω σε δοξάσαντι τρανώς, ένδοξε Πρόχορε.

Έτερον. Ήχος γ'. Θείας πίστεως.

Ως συνέκδημον, του Θεολόγου, και Απόστολον, ηγλαϊσμένον, ευφημεί σε η Πάτμος χορεύουσα˙ σε γαρ εδέξατο Πρόχορε ένδοξε, υπέρ Χριστού του Κυρίου εξόριστον˙ ήν διάσωζε, κινδύνων και πάσης θλίψεως, πρεσβείαις σου σεπταίς ανεπηρέαστον.

Το ομόηχον Θεοτοκίον και Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά την α' Στιχολογίαν, Κάθισμα.Ήχος α'. Τον τάφον σου.

Χοροί των ευσεβών, συνδραμόντες ευθύμως, υμνήσωμεν πιστώς, εν ψαλμοίς εορτίοις, Κυρίου τον Απόστολον, και Διάκονον Πρόχορον, ανακράζοντες˙ Ταις προς Θεόν σου πρεσβείαις, τους τιμώντάς σε, από κινδύνων παντοίων, παμμάκαρ διάσωσον.

Δόξα. Όμοιον.

Ως χάριτος πολλής, πληρωθείς και σοφίας, Διάκονος Χριστού, του Θεού ανεδείχθης, και ένθεος Απόστολος, παμμακάριστε Πρόχορε˙ ον ικέτευε, εν παρρησία απαύστως, ίνα ρύσηται, τους ευλαβώς σε τιμώντας, πυρός της κολάσεως.

Και νυν. Θεοτοκίον.

Ανύμφευτε Αγνή, Θεοτόκε Μαρία, η μόνη των πιστών, προς Θεόν μεσιτεία, τους πίστει σε δοξάζοντας, ως Κυρίου λοχεύτριαν, ρύσαι

Δέσποινα, εκ μώμου πάσης κακίας, και οικείωσον, τω δια σου φιλανθώπως, την σάρκα φορέσαντι.

Μετά την β’ Στιχολογίαν, Κάθισμα.Ήχος γ’. Την ωραιότητα.

Φωτί του Πνεύματος, καταυγαζόμενος, φωτί των λόγων σου, λαούς ωδήγησας, προς την επίγνωσιν Χριστού, Απόστολε θεηγόρε˙ ψεύδους δε διέλυσας, συμπλοκάς τη σοφία σου, καταγγείλας Πρόχορε, τον Χριστόν την αλήθειαν˙ ώ πρέσβευε αεί υπέρ πάντων, των εκτελούντων σου την μνήμην.

Δόξα. Ήχος δ’. Ταχύ προκατάλαβε.

Ως θείος Διάκονος, της Εκκλησίας Χριστού, και κήρυξ υψήγορος, των μυστηρίων αυτού, μακάριε Πρόχορε, έδραμες μετά δόξης, προς τους άνω θαλάμους, ένθα εστεφανώθης, της ζωής τω στεφάνω, πρεσβεύων τη Τριάδι, υπέρ των τιμώντων σε.

Και νυν. Θεοτοκίον.

Αγνών εξ αιμάτων σου, ο του παντός Ποιητής, τεχθείς υπέρ έννοιαν, την των ανθρώπων Αγνή, ουσίαν ανέπλασεν. Όθεν σε ως αιτίαν, της ημών σωτηρίας, πάντες ανευφημούμεν, και πιστώς εκβοώμεν˙ Χαίρε ευλογημένη, Μαρία Μητρόθεε.

Μετά τον Πολυέλεον, Κάθισμα.Ήχος πλ. δ’. Την Σοφίαν και Λόγον.

Παρακλήτου την αίγλη καταλαμφθείς, και σοφίας τω κόσμω ωραιωθείς, εκρίθης Διάκονος, εκλογή θεία Πρόχορε, διακονείν αξίως, πιστών τω πληρώματι, και μαρτυρείν ανθρώποις, Θεού το σωτήριον. Όθεν εν αγάπη, και πολλή ταπεινώσει, πληρώσας το έργον σου, του Χριστού αναδέδειξαι, μαθητής αληθέστατος˙ ώ

πρέσβευε αεί εκτενώς, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω, την αγίαν μνήμην σου.

Δόξα. Ήχος δ’. Επεφάνης σήμερον.

Των ρημάτων Πρόχορε, του στόματός σου, θαυμαστώς διέδραμεν, ο φθόγγος άπασαν την γην, θεογνωσίας ελλάμψεσι, καταφωτίζων τα έθνη αοίδιμε.

Και νυν. Θεοτοκίον.

Παναγία Δέσποινα, Πατρός ο Λόγος, ως αιτίαν έσχε σε, της σωτηρίας των βροτών, σωματωθείς υπέρ έννοιαν, δι’ ευσπλαγχνίαν, αγνών εξ αιμάτων σου.

Οι Αναβαθμοί, ήτοι˙ τα α’ Αντίφωνον των Αναβαθμών του δ’ ήχου και το Προκείμενον.

Εις πάσαν την γην εξήλθεν ο φθόγγος αυτού και εις τα πέρατα της οικουμένης τα ρήματα αυτού.

Στίχ. Οι ουρανοί διηγούνται δόξαν Θεού, ποίησιν δε χειρών αυτού αναγγέλλει το στερέωμα.

Ευαγγέλιον, ζήτει το Α’ Εωθινόν.Ο Ν’.

Δόξα. Ταις του Αποστόλου… Και νυν. Ταις της Θεοτόκου…

Ιδιόμελον. Ήχος β’.

Στίχ. Ελέησόν με, ο Θεός, κατά το μέγα έλεός σου…

Το μέγα κλέος των Διακόνων, Πρόχορος ο του Θεολόγου Μαθητού, γενόμενος έν τοις έθνεσι συνέκδημος, προς μυστικήν ευφροσύνην, συγκαλείται σήμερον ημάς τους γηγενείς. Φαιδρώς δεύτε αδελφοί, την μνήμην αυτού υπαντήσωμεν, εγκωμίοις μακαρίζοντες, τους

ιερούς αυτού καμάτους, ους εκοπίασεν υπέρ του Ευαγγελίου του Χριστού˙ όπως ταις ευχαίς αυτού, ιλασμόν απειραρίθμων πταισμάτων, παρά Θεού κομισώμεθα.

Είτα˙ ο Κανών της Θεοτόκου και ο Κανών του Αποστόλου, ου η Ακροστιχίς˙ «Πρόχορον τιμώ Διακόνων τύπον. Κυρίλλου».

Ωδή α'. Ήχος β'. Δεύτε λαοί.

Πάντες πιστοί, εν υμνωδίαις τιμήσωμεν, τον του Χριστού Διάκονον, ένδοξε Πρόχορον, αληθείας το στόμα, δι' ου ειδώλων πλάνης, ψεύδος κατήργηται.

Ράβδω σεπτή, Ευαγγελίου κηρύγματος, προς τας νομάς εποίμανας, Χριστού της πίστεως, πλανηθέντας ανθρώπους, απάτη του βελίαρ, ένδοξε Πρόχορε.

Όλος Χριστώ, ως καθαρός ανακείμενος, και της σοφίας Πρόχορε, δώρον δεξάμενος, εκλογή θεοκρίτω, Διάκονος εδείχθης, λαού της χάριτος.

Χάρις εν σοι, η του Θεού επιλάμψασα, της του Χριστού σαρκώσεως, ρήτορα Πρόχορε, απειργάσατο μέγαν, κηρύττοντα τω κόσμω, την απολύτρωσιν.

Θεοτοκίον.

Ο σαρκωθείς, εκ των αγίων αιμάτων σου, Χριστός Αδάμ ελύτρωσε, της παραβάσεως, και ημίν δέδωκέ σε, Παρθένε προστασίαν, ακαταμάχητον.

Ωδή γ’. Εν πέτρα με της πίστεως.

Ρημάτων σου τοις νάμασι θεορρήμον, κατήρδευσας πλουσίως την οικουμένην, επήγασας ανθρώποις θεογνωσίαν, πλάνης εξήρανας, τας θολεράς πηγάς˙ διο πάντες Πρόχορε, ευφημούμέν σε.

Ο φθόγγος σου ως λόγος αθανασίας, διέδραμες το πλάτος της γης παμμάκαρ, διέλυσε ειδώλων την σκοτομήνην, πάντας εφώτισε τω μυστικώ φωτί, της του Λόγου Πρόχορε, επιγνώσεως.

Νοσήματα εδίωξας εξ ανθρώπων, σημειά τε κα τέρατα κατειργάσω, τον λόγον καταγγέλλων της σωτηρίας, θεόφρον Πρόχορε, ως του Θεού ημών, ευκλεής Απόστολος, και Διάκονος.

Θεοτοκίον.

Την νύκτα διασκέδασον του νοός μου, εκλάμπρυνον φωτί με της μετανοίας, και δίδαξόν με κράζειν Χριστώ παρθένε˙ Ουκ έστιν άγιος, ως ο Θεός ημών, και ουκ έστι δίκαιος, πλην σου Κύριε.

Κάθισμα. Ήχος πλ. α’. Τον συνάναρχον Λόγον.

Του δι’ έλεος μέγα, ενανθρωπήσαντος, εκ της Αγίας Παρθένου, εις σωτηρίαν ημών, ανεδείχθης αληθώς κήρυξ θεόσοφος, συνεκδημήσας εκ Σιών, τω Παρθένω Μαθητή, ώ Πρόχορε προς τα έθνη˙ διο και εθαυμαστώθης, ως πνευματέμφορος Απόστολε.

Θεοτοκίον.

Τον Δεσπότην του κόσμου, φρικτώς εκύησας, άνευ ανδρός συναφείας, Θεοκυήτορ Αγνή, αναπλάττοντα ημάς της παραβάσεως. Όθεν αεί σε ευσεβώς, ως αιτίαν οι πιστοί, δοξάζομεν

σωτηρίας, αιτούμενοι εκ κινδύνοις, την ανεπαίσχυντον πρεσβείαν σου.

Ωδή δ'. Την εκ Παρθένου σου γέννησιν.

Ιερωτάτου κηρύγματος, θεολόγοις εν φθόγγοις, εκαινούργησας ψυχάς, ειδωλική ματαιότητι, παλαιωθείσας˙ συ γαρ από Σιών, Απόστολος θείος, απεστάλη προς τα έθνη εκ Θεού.

Μυσταγωγίαις του Πνεύματος, εις βυθόν αλιεύσας, της θαλάσσης των εθνών, ανθρώπων πλήθη ανείλκυσας, ώσπερ ιχθύας, Πρόχορε λογικούς, εις δόξαν Κυρίου, του Σωτήρος των απάντων και Θεού.

Ως συνοδίτην πιστότατον του κλεινού Θεολόγου, ως συνέκδημον αυτού, και κοινωνόν εν ταις θλίψεσι, σε ευφημούμεν, Πρόχορε οι πιστοί, μεθ' ου τον Δεσπότην, εκδυσώπει εκτενώς υπέρ ημών.

Θεοτοκίον.

Δέσποινα Μήτερ απείρανδρε, Παναγία Παρθένε, Θεοτόκε αγαθή, τους ευσεβώς καταφεύγοντας, τη αρωγή σου, λύτρωσαι συμφορών, κινδύνων παντοίων, και δολίας κακουργίας του εχθρού.

Ωδή ε'. Μεσίτης Θεού.

Ισχύι Θεού, κατά πλάνης Πρόχορε εχώρησας, και ταύτης σεβάσματα, διδαχής αξίνης κατηδάφισας, και ναούς Παρακλήτου, ψυχάς ανθρώπων έδειξας.

Αΰλω πυρί, της αγάπης μάκαρ αναπτόμενος, ως λύχνος ουράνιος, φως ανθρώποις άδυτον επέφανες˙ ευπειθής γαρ εγένου, Χριστού τω λόγω Πρόχορε.

Κηρύξας Χριστού, θεοπνεύστως νόμον τον σωτήριον, ιάσω το άνομον, των εθνών ώ Πρόχορε Απόστολε, και της δικαιοσύνης, το κάλλος κόσμω έδειξας.

Ο θείος φωστήρ, ο φωσφόρος ήλιος της γνώσεως, ημίν φως επίλαμψον, τοις εσκοτισμένοις εν τοις πάθεσι˙ την σην γαρ εκτελούμεν, ευφήμως μνήμην Πρόχορε.

Θεοτοκίον.

Ναμάτων Αγνή, μητρικής σου χάριτος κατάρδευσον, καρδίας των δούλων σου, και συν τω Προχόρω καθικέτευε, από πάσης ανάγκης, ημάς ρυσθήναι Άχραντε.

Ωδή στ’. Εν αβύσσω πταισμάτων.

Ως πυρί Παρακλήτου φλεγόμενος, άνθρακας κατέσβεσας, της πλάνης Πρόχορε, και επανήψας έρωτα, εν φρεσί των ανθρώπων ουράνιον.

Νικηφόρος εγένου τω λόγω σου, πάσαν τροπωσάμενος ψεύδους παράταξιν, και υπεδέξω άνωθεν, της ζωής το διάδημα Πρόχορε.

Τα εν κόσμω μισήσας ηγάπησας, τον ενανθρωπήσαντα, Κύριον Πρόχορε, και εν αυτώ καυχώμενος, εθνικήν διετάραξας θάλασσαν.

Ολοτρόπως Χριστώ ανακείμενος, των πιστών επήρκεσας, ταις χρείαις Πρόχορε, διακονοίας πρότυπον, εν αγάπης φαινόμενος πράξεσι.

Θεοτοκίον.

Νοσημάτων παντοίων και θλίψεων, ρύσαι ικεσίαις σου, Θεοχαρίτωτε, τους ως Θεού Μητέρα σε, ευσεβώς Παναγία δοξάζοντας.

Κοντάκιον. Ήχος πλ. δ'. Τη Υπερμάχω.

Επιστηθίου μαθητής ο πνευματέμφορος, και Διακόνων χαρακτήρ ο ακριβέστατος, ως Απόστολος Κυρίου ανευφημείσθω˙ παρρησίας γαρ ως έχων χάριν άφθονον, εκ παντοίας τρικυμίας σώζει θλίψεων, τους κραυγάζοντας˙ Χαίροις ένδοξε Πρόχορε.

Ο Οίκος.

Εκλογή θεοκρίτω, της Χριστού Εκκλησίας, Διάκονος σεπτός ανεδείχθης, και διηκόνησας καλώς, αυτής ταις χρείαις μακάριε Πρόχορε, δι' έργων τε και λόγων σου˙ διο σοι πάντες εκβοώμεν˙

Χαίρε το άγαλμα της σοφίας˙

Χαίρε το σκεύος της ευσεβείας.

Χαίρε Παρακλήτου ανάκτορον έμψυχον˙

Χαίρε Εκκλησίας φωστήρ ουρανόφωτος.

Χαίρε μύστης επουράνιος της σαρκώσεως Χριστού˙

Χαίρε κήρυξ πνευματέμφορος της Θεότητος αυτού.

Χαίρε της αληθείς αληθής υποφήτης˙

Χαίρε της ασεβείας κραταιός καθαιρέτης.

Χαίρε Χριστού βαστάσας το όνομα˙

Χαίρε βροτούς απάτης ρυσάμενος.

Χαίρε καλός των Πατμίων προστάτης˙

Χαίρε πιστών ο στερρός παραστάτης.

Χαίροις ένδοξε Πρόχορε.

Μηνολόγιον.

Τη ΚΗ’ του αυτού μηνός, Μνήμη του Αγίου ενδόξου και πανευφήμου Αποστόλου Προχόρου, ενός των επτά Διακόνων.

Στίχοι.

Μίμημα ο Πρόχορος Επιστηθίου, Ὤφθη αληθώς˙ εύγε της προθυμίας! Εικάδι ογδοάτη ο Πρόχορος εσχθόνα έδυ.

Ωδή ζ’. Εικόνος χρυσής.

Τυράννου εχθρού, κατεπάτησας στερρώς την εξουσίαν, και διδαχή σου απεμώρανας, ειδωλικήν αθεότητα˙ πάντας δε εδίδαξας ψάλλειν, θεομακάριστε Πρόχορε˙ Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Υπήλθες σοφέ, Αποστόλων την οδόν ενθέω ζήλω, και βασιλείας προς ανέσπερον, Πρόχορε δόξαν κατέπαυσας, συν τοις Ασωμάτοις Αγγέλοις, μελωδών τω Κυρίω σου˙ Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Ποιμάνας Χριστού, βακτηρία διδαχών πνευματεμφόρων, την θείαν ποίμνην μάκαρ Πρόχορε, ως ποιμαινόμενος Πνεύματι, μάνδρας ουρανίου επέβης, μελωδών ευφραινόμενος˙ Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Ο πόνους πολλούς, και βασάνους υποστάς δια την πίστιν, του Θεολόγου ο συνέκδημος, και Διακόνων το καύχημα, Πρόχορε Χριστόν εκδυσώπει, του σωθήναι τους ψάλλοντας˙ Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Θεοτοκίον.

Σωτήρα Χριστόν, εξ αιμάτων σου φρικτώς την τετοκυία, σε Θεοτόκε ικετεύομεν, από κινδύνων διάσωσον, πάντας τους πιστώς σε υμνούντας, και Κυρίω κραυγάζοντας˙ Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Ωδή η’. Τον εν καμίνω του πυρός.

Καταπατήσας ανδρικώς, ασεβείας την οφρύν την επηρμένην, θεοπνεύστοις εν λόγοις, και εν σημείοις φρικτοίς, σοφός ευσεβείας διδάσκαλος, Πρόχορε θεόφρον, τοις έθνεσι εγένου.

Υμνολογίαις ευσεβώς, των Πατμίων μακαρίζει σε ο δήμος, ως συνέκδημον θείον, και συνοδίτην πιστόν, θεόφρον Διάκονε Πρόχορε, του Ηγαπημένου, Κυρίω Θεολόγου.

Ρύσαι παντοίων συμφορών, και κινδύνων χαλεπών επιστασία, δραστικών πρεσβειών σου, τους εκτελούντας την σην, ημέραν Απόστολε Πρόχορε, και δοξολογούντας, Τριάδα την Αγίαν.

Θεοτοκίον.

Ιερωτάταις οι πιστοί, ευφημούμεν υμνωδίαις σε Παρθένε˙ συ γαρ τείχος υπάρχεις, και προστασία στερρά, των πίστει υμνούντων τον τόκον σου, δι’ ου κατηργήθη, εχθρού η εξουσία.

Ωδή θ’. Ανάρχου Γεννήτορος.

Λαμπάσι του Πνεύματος, αΰλως φωτιζόμενος, τω λαώ τω εν πλάνης, σκιά καθεύδοντι, έλαμψας φωστήρ εωσφόρος, της ευσεβείας Πρόχορε λατρείας˙ διο ως Απόστολον, του Χριστού σε μακαρίζομεν.

Λαμπρύνεται σήμερον, η Πάτμος εν τη μνήμη σου, και κηρύττει το κλέος, της μαρτυρίας σου, ην εξ ουρανίων αψίδων, μη παύση ένδοξε εποπτεύων, και σώζων πρεσβείαις σου, εξ εχθρών παντοίων Πρόχορε.

Ο θείος Διάκονος, και πάνσοφος Απόστολος, ευσεβείας ο μύστης, παμμάκαρ Πρόχορε, δέξαι το εφύμνιον τούτον, πάσης οργής, πάσης τε κακίας, και πάσης με θλίψεως, ταις πρεσβείαις σου λυτρούμενος.

Θεοτοκίον.

Υπέραγνε Δέσποινα, Μαρία Υπεράμωμε, η ασπόρως τεκούσα, Χριστόν τον Κύριον, πρέσβευε απαύστως Παρθένε, υπέρ ημών των απεγνωσμένων, και σώσον κολάσεως, της μελλούσης Θεονύμφευτε.

Εξαποστειλάριον. Τοις Μαθηταίς συνέλθωμεν.

Διακονήσας Πρόχορε, των αγίων ταις χρείαις, εκ της Σιών εξέδραμες, ως βολίς ουρανία, Ευαγγελίου του λόγου, φωτισμώ ακηράτω, ειδώλων αθεότητος, απελαύνων σκοτίαν, και δαδουχών, προς Θεού επίγνωσιν τους ανθρώπους, ως ένθεος συνέκδημος, του κλεινού Θεολόγου.

Έτερον. Γυναίκες ακουτίσθητε.

Η Πάτμος εν τη μνήμη σου, ευφραίνεται τιμώσά σε, του Μαθητού της αγάπης, και ιερού Θεολόγου, ως μαθητήν συνέκδημον, και γραμματέα πάνσοφον˙ ην στήριζε ακλόνητον, Πρόχορε θείαις ευχαίς σου, εν πέτρα της ευσεβείας.

Θεοτοκίον.

Αμέτροις παραβάσεσιν, αθλίως συντριβέντα με, και κατακείμενον Μήτερ, εις βάραθρον απωλείας, ανάστησον ως εύσπλαγχνος, Αγνή και καινοποίησον, τον ταπεινόν ικέτην σου, την ιατρείαν ευχαίς σου, βραβεύουσα τη ψυχή μου.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ιστώμεν στίχ. δ' και ψάλλομεν τα κάτωθι

Στιχηρά Προσόμοια.Ήχος α'. Πανεύφημοι Μάρτυρες.

Απόστολε ένδοξε αυγήν, τρισηλίου λάμψεως, εν τη ψυχή σου δεξάμενος, ως δεκτικώτατος, εκλογή εκρίθης, θεοκρίτω Πρόχορε, πιστών διακονείν τω πληρώματι. Όθεν την κλήσίν σου, βεβαιώσας εν τοις έργοις σου, παραστάδος, Χριστού κατηξίωσαι.

Απόστολε Άγιε Χριστού, μαθητής πιστότατος, και μιμητής αναδέδειξαι, εν ζήλω κρείττονι, την διακονίαν, την εμπιστευθείσάν σοι καλώς πληροφορήσας ως γέγραπται˙ διο αντίδοσιν, εκομίσω υπερήδιστον, Παραδείσου, απόλαυσιν Πρόχορε.

Απόστολε τίμιε Χριστού, συνοδίτης έμπιστος, και κοινωνός εν ταις θλίψεσιν, εγένου ένθεος, του Επιστηθίου, Ιωάννου Πρόχορε, μεθ' ου Ευαγγελίου κηρύγματι, Πάτμον συνήρμοσας, οία νύμφην τω Κυρίω σου, ήν συντήρει ευχαίς σου ορθόδοξον.

Απόστολε πάνσοφε Χριστού, του Θεού την κένωσιν, ανακηρύξας τοις έθνεσι, πλάνην κατέστρεψας, της πολυθεΐας, των ειδώλων Πρόχορε, και κόσμον ευσεβεία εφώτισας˙ διο ενίσχυσον, εν φωτί ημάς πορεύεσθαι, προσταγμάτων, των θείων πρεσβείαις σου.

Δόξα. Ήχος πλ. α’.

Πάλιν ημάς, ο θεοκήρυξ Απόστολος, δια της ετησίου μνήμης αυτού, προς μυστικήν πανδαισίαν, και εορτήν συγκαλείται. Δεύτε πάντες, αυτόν ανυμνήσωμεν κράζοντες˙ Χαίροις ο πλήρης Πνεύματος Αγίου, και δυνάμεως θείας γενόμενος, και θεοκρίτω εκλογή, προκριθείς Εκκλησίας Διάκονος˙ χαίροις του Ηγαπημένου Ιωάννου, ο συνέκδημος μαθητής και ακόλουθος, ο έργον ευαγγελιστού, ποιήσας συν αυτώ εν τοις έθνεσι˙ χαίροις της Πάτμου το καύχημα, και πάσης Εκκλησίας, το φαιδρόν εγκαλλώπισμα. Άλλ’ ως έχων παρρησίαν προς Θεόν, την ειρήνην Πρόχορε αίτει, ταις ψυχαίς των τιμώντων σε πάντοτε.

Και νυν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, και δοξάζομέν σε, οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

Δοξολογία Μεγάλη και Απόλυσις.

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τα Τυπικά, οι Μακαρισμοί και εκ του Κανόνος του Αποστόλου η γ’ και στ’ Ωδή. Απόστολον, ζήτει τη Κυριακή των Αγίων Μυροφόρων γυναικών και Ευαγγέλιον τη στ’ Σεπτεμβρίου.

Κοινωνικόν.

Εις πάσαν την γην εξήλθεν ο φθόγγος αυτού και εις τα πέρατα της οικουμένης τα ρήματα αυτού. Αλληλούϊα.

Μεγαλυνάρια.

Χαίροις ο συνέκδημος μαθητής, του Ηγαπημένου, τω Σωτήρι ημών Χριστώ˙ χαίροις ευσεβείας, ο θεηγόρος μύστης, Απόστολε Κυρίου, ένδοξε Πρόχορε.

Πάτμος ευφημεί σε χαρμονικώς, του Επιστηθίου, Θεολόγου τον μαθητήν, ήν επισκοπή σου, ακλόνητον συντήρει, εν πέτρα ευσεβείας, ένδοξε Πρόχορε.

Δίστιχον.

Πρόχορε Απόστολε ρύσαι κινδύνων,

Κύριλλον υμνήσαντα τας αρετάς σου.

